† Πρὸς ... ἡ Πύλος, Κορυφάσιον ἐκαλεῖτο. ἐπίδειξ χωρίον ἐρυμνὸν διέχον τῆς Λακωνικῆς σταδίους υ΄.
† Ναύπακτος Μεσσηνιακὴ πόλις· προκαθήμενος δὲ ἐν τῷ Ναυπάκτῳ ὁ Φορμίων ... ὡς ὁ Φορμίων ὁ Ἀθηναίων στρατηγὸς ... περὶ τοὺς Πελοποννησίους ... ἐν ... Φορμίων ... καιροῦ ... τοῖς ναυσὶν· ναυσὶν ... ναυμαχήσειν πρὸς τοὺς Πελοποννησίους ... ἄρχοντος ... ἐνίκησεν αὖθις :

† αἰτήσεις λεγόμεναι ἐν τῇ λιτανείᾳ μετὰ τὴν μνημόνευσιν τῶν βασιλέων

Ὑπὲρ τοῦ λυτρωθῆναι ἡμᾶς πάσης ἀδικίας, καὶ τῆς δικαιοσύνης ἐννοίως ἀντέχεσθαι, τοῦ κυρίου δεηθῶμεν :·

Ὑπὲρ τοῦ σωφρονεῖν ἡμᾶς τῇ ψυχῇ καὶ σώματι, καὶ πᾶσαν τῶν ὀφθαλμῶν πορνικὴν ἐπιθυμίαν ἀποφεύγειν, τοῦ κυρίου δεηθῶμεν :·

Ὑπὲρ τοῦ καρδίᾳ καὶ στόματι ἀληθεύειν, καὶ πᾶσαν ψευδολογίαν ἀποστρέφεσθαι ἡμᾶς, τοῦ κυρίου δεηθῶμεν :·

Ὑπὲρ τοῦ ἀγαπᾶν ἀλλήλους, καὶ μηδὲ τῷ θελήματι μνησικακίας τι προσέχεσθαι ἡμᾶς, τοῦ κυρίου δεηθῶμεν :·

Ὑπὲρ τοῦ σχολάζειν ἡμᾶς ἐν τῇ ἐκκλησίᾳ ἀδιαλείπτως, καὶ τῶν ὀφειλομένων συνάξεων μηδαμῶς ἀπολιμπάνεσθαι ἡμᾶς, τοῦ κυρίου δεηθῶμεν :·

Ὑπὲρ τοῦ ἱσταμένους ἡμᾶς ἐν ἐκκλησίᾳ θεοῦ μὴ ἀργολογεῖν, ἀλλ' ἔχειν τὸν νοῦν ἐν λατρείᾳ καὶ προσευχῇ, τοῦ κυρίου δεηθῶμεν :·

Ὑπὲρ τοῦ τὰ ὦτα ἡμῶν τίθεσθαι εἰς ἀκρόασιν τῶν θείων λογίων, καὶ πρὸς τὴν τῶν ἀρετῶν ἐργασίαν κινεῖσθαι ἡμᾶς, τοῦ κυρίου δεηθῶμεν :·†

vid. Camerarii Precat. p. 73. Suicer. in Litania 1148.

http://digital.slub-dresden.de/ppn345504569/67